www.tezaurliturgic.ro

# ΑιΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

# ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ

# ΠΑΤΕΡΩΝ ΗΜΩΝ

# ΝΙΚΟΛΑΟΥ,

# ΑΘΑΝΑΣΙΟΥ ΚΑΙ ΑΝΤΩΝΙΟΥ

# ΤΩΝ ΚΤΙΤΟΡΩΝ

# ΤΗΣ ΕΝ ΤΩι ΑΘΩι ΙΕΡΑΣ

# ΜΟΝΗΣ ΤΟΥ ΒΑΤΟΠΑΙΔΙΟΥ

Ἡ μνήμη αὐτῶν τελεῖται τῇ 17η Δεκεμβρίου.

ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ, ΑΓΙΟΝ ΟΡΟΣ

# ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

***Εἰ τύχει ἡ ιζ´ Δεκεμβρίου ἐν ἡμέρᾳ Κυριακῇ,*** *συμψάλλεται ἡ Ἀκολουθία τῶν Ἁγίων Κτιτόρων μετὰ τῶν Ἀναστασίμων καὶ τῆς Ἀκολουθίας τῶν Προπατόρων, ὡς ἑξῆς:*

*Εἰς τὸν Μικρὸν Ἑσπερινὸν λέγομεν τὰ Προσόμοια τῶν Ἁγίων. Δόξα, τῶν Ἁγίων· Καὶ νῦν, τὸ Δογματικὸν τοῦ Μικροῦ Ἑσπερινοῦ τοῦ τυχόντος ἤχου. Εἰς τὰ Ἀπόστιχα ψάλλομεν πρῶτον ἓν Ἀναστάσιμον Στιχηρὸν τοῦ τυχόντος ἤχου καὶ εἶτα τὰ Προσόμοια τῶν Ἁγίων. Δόξα· τῶν Προπατόρων (τὸ τοῦ Ἑσπερινοῦ ἦχος πλ. β´). Καὶ νῦν· Προεόρτιον. Ἀπολυτίκιον, τῶν Ἁγίων. Δόξα, Καὶ νῦν· τῶν Προπατόρων, ὡς Θεοτοκίον.*

*Εἰς τὸν Μέγαν Ἑσπερινὸν ψάλλομεν τὸ «Μακάριος ἀνὴρ» καὶ εἶτα διερχόμεθα τὸ ὑπόλοιπον τοῦ α´ Καθίσματος χῦμα. Εἰς τὸ «Κύριε Ἐκέκραξα» ἱστῶμεν στίχους δέκα: γ´ Ἀναστάσιμα, γ´ τῶν Προπατόρων (βλ. ταῦτα μελοποιημένα ἐν τῷ «Μουσικῷ Ἀπανθίσματι» σελ. 105) καὶ δ´ τῶν Ἁγίων. Δόξα, τῶν Ἁγίων. Καὶ νῦν· τὸ Δογματικὸν τοῦ τυχόντος ἤχου. Εἴσοδος, τὸ Προκείμενον «Ὁ Κύριος ἐβασίλευσεν...» καὶ τὰ Ἀναγνώσματα τῶν Ἁγίων. Εἰς τὴν λιτὴν πάντα τῶν Ἁγίων ὡς ἔχουν, μετὰ τοῦ Προεορτίου Καὶ νῦν. Εἰς τὰ Ἀπόστιχα ἓν Ἀναστάσιμον Στιχηρὸν τοῦ τυχόντος ἤχου καὶ τὰ Προσόμοια τῶν Ἁγίων. Δόξα, τῶν Ἁγίων· Καὶ νῦν, «Τῶν Προπατόρων τὸ σύστημα» (Ἦχος γ´). Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων τὸ Ἀπολυτίκιον τῶν Ἁγίων δίς, καὶ τὸ Θεοτόκε Παρθένε.*

*Εἰς τὸ Θεὸς Κύριος Ἀπολυτίκια: Ἀναστάσιμον δίς, Δόξα· τῶν Ἁγίων. Καὶ νῦν· τῶν Προπατόρων. Καθίσματα εἰς τὴν α´ Στιχολογίαν πάντα τὰ Ἀναστάσιμα. Εἰς τὴν β´ Στιχολογίαν καὶ μετά τὸν Πολυέλαιον τὰ Καθίσματα τῶν Ἁγίων. Μετὰ τὴν ἐκλογὴν (εἰς Ὁσίους) τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, τὰ ὡς ἄνω Καθίσματα, οἱ Ἀναβαθμοὶ τοῦ τυχόντος ἤχου καὶ τὰ λοιπὰ ὡς συνήθως τῆς Κυριακῆς. Κανόνες: ὁ Ἀναστάσιμος εἰς ς´ (μετὰ τῶν δύο τῆς Θεοτόκου) τῶν Προπατόρων, ὁ τοῦ α´ ἤχου, εἰς δ´ (ὁ τοῦ πλ. δ´, τῶν Τριῶν Παίδων παραλείπεται ὡς ψαλλόμενος εἰς τὴν μνήμην αὐτῶν) καὶ τῶν Ἁγίων, ὁ εἷς εἰς δ´. Καταβασίαι: «Χριστὸς γεννᾶται». Ἀπὸ γ´ ᾠδῆς: Κοντάκιον Ἀναστάσιμον καὶ Κοντάκιον καὶ Οἶκον τῶν Προπατόρων (χύμα). Εἶτα Καθίσματα: τῶν Προπατόρων καὶ τῶν Ἁγίων μετὰ Θεοτοκίου. Ἀφ᾽ ς´ ᾠδῆς Κοντάκιον καὶ Οἶκον τῶν Ἁγίων. Μετὰ τό, Ἅγιος Κύριος, ὁ Θεὸς ἡμῶν... Ἐξαποστειλάριον Ἀναστάσιμον, τοῦ τυχόντος ἑωθινοῦ. Εἶτα, τὰ Ἐξαποστειλάρια: τὸ ἓν τῶν Προπατόρων καὶ τὸ τῶν Ἁγίων μετὰ τοῦ Θεοτοκίου. Εἰς τοὺς Αἴνους: δ´ Ἀναστάσιμα, γ´ τῶν Ἁγίων καὶ ἓν τὸ Δοξαστικὸν τῶν Προπατόρων (ἦχος βαρύς, «Δεῦτε ἅπαντες...») ὡς Ἰδιόμελον, μετὰ τοῦ στίχου «Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν». Δόξα, τῶν Ἁγίων. Καὶ νῦν,*

*Ὑπερευλογημένη. Δοξολογία Μεγάλη, καὶ μετ᾿ αὐτὴν τὸ Ἀναστάσιμον Τροπάριον. Τὸ τυχὸν Ἑωθινόν μετὰ τὴν ἀπόλυσιν τοῦ Ὄρθρου.*

*Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ εἰς ιβ΄: Ἀναστάσιμα τοῦ ἤχου εἰς δ΄, τῶν Προπατόρων ἡ γ΄ ᾠδὴ εἰς δ΄ καὶ τῶν Ἁγίων ἡ ς΄ εἰς δ΄. Ἀπολυτίκια: Ἀναστάσιμον δίς, τῶν Προπατόρων, τῶν Ἁγίων, καὶ τὰ λοιπὰ συνήθη· Εἶτα· Ὑπακοή, Κοντάκιον τῶν Προπατόρων, τῶν Ἁγίων καὶ τέλος «Ἡ Παρθένος σήμερον». Προκείμενον καὶ Ἀλληλούϊα τῶν Προπατόρων. Ἀποστολοευαγγέλιον τῆς Κυριακῆς τῶν Προπατόρων καὶ τῶν Ἁγίων. Κοινωνικόν: «Αἰνεῖτε τὸν Κύριον...» καὶ «Εἰς μνημόσυνον ...». Εἰς τὴν εὐλόγησιν τῶν Κολλύβων Ἀπολυτίκον τῶν Ἁγίων· Δόξα, Κοντάκιον τῶν Ἁγίων· Καὶ νῦν, τῶν Προπατόρων, ὡς Θεοτοκίον. Εἰσερχόμενοι εἰς τὴν Τράπεζαν τὸ Ἀναστάσιμον Ἀπολυτίκιον· ἐξερχόμενοι τῶν Ἁγίων. Κοντάκια ἐκεῖ τὸ Ἀναστάσιμον, τῶν Ἁγίων καὶ τῶν Προπατόρων.*

*Σημειωτέον ὅτι ἀφ᾿ ἑσπέρας εἰς τὸ Ἀπόδειπνον καὶ εἰς τὰς Ὥρας, Ἀπολυτίκια καὶ Κοντάκια λέγομεν πρῶτον τὰ Ἀναστάσιμα, τῶν δὲ Προατόρων καὶ τῶν Ἁγίων ἐναλλάξ.*

***Εἰ τύχει ἐν ἡμέρᾳ Τρίτῃ,** Ἰδιόμελα τῆς Βηματαρίσσης εἰς τὰ Καὶ νῦν, οὐ λέγομεν, ἀλλὰ τὰ Προεόρτια. Κανόνα τῆς Θεοτόκου ψάλλομεν ἐκ τῶν ὀκτωήχων κανόνων τῆς Βηματαρίσσης· εἰς δὲ τὰ Ἀπολυτίκια λέγομεν καὶ τὸ τῆς Βηματαρίσσης ἀντὶ Θεοτοκίου. Εἰς τοὺς Μακαρισμοὺς τὴν γ΄ ᾠδὴν τῆς Βηματαρίσσης καὶ εἶτα γ΄ καὶ ς΄ τῶν Ἁγίων.*

***Εἰ τύχει ἐν ἡμέρᾳ Σαββάτῳ** τὸ Δογματικὸν τῆς ἀποδόσεως τοῦ ἤχου ψάλλεται τῇ Παρασκευῇ ἑσπέρας εἰς τὸν Μικρὸν Ἑσπερινόν· εἰς δὲ τὸν Μέγαν Ἑσπερινόν ψάλλεται τὸ Προεόρτιον. Κανόνα τῆς Θεοτόκου ψάλλομεν ἐκ τῶν ὀκτωήχων κανόνων τοῦ Εὐαγγελισμοῦ.*

***Εἰ δὲ τύχει ἐν ἄλλῃ ἡμέρᾳ,** ἀκολουθοῦμεν τὴν διάταξιν ὡς φαίνεται κάτωθι.*

# Τῇ ΙΖ᾽ Δεκεμβρίου μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν Νικολάου καθηγουμένου, Ἀθανασίου καὶ Ἀντωνίου, Κτιτόρων τῆς καθ᾽ ἡμᾶς Ἱερᾶς Μονῆς.

## ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:**

**Ἦχος β: Ὅτε ἐκ τοῦ ξύλου.**

Ῥόδα εὐωδέστατα Χριστοῦ,˙ Πνεύματος ἁγίου λειμῶνες,˙ βλαστοὶ ἠδεῖς τῆς κλεινῆς˙ Ἀδριανουπόλεως˙ εἰς ὄρος Ἄθωνος˙ ὁμοψύχως ἀνήλθετε˙ καὶ Βατοπαιδίου˙ μάνδραν τὴν θεότευκτον˙ ἀνεκαινίσατε·˙ ὅθεν ποταμοὺς ἀειῤῥόους˙ τῶν ὑμῶν τιμῶντες ἱδρώτων˙ ᾄδομεν ὑμῶν τὰ κατορθώματα.

Σκεύη γεγονότες τοῦ Θεοῦ˙ πάγχρυσα συντόνῳ ἀσκήσει,˙ Πατέρες θεοειδεῖς,˙ μάκαρ Ἀθανάσιε,˙ σεπτὲ Ἀντώνιε˙ καὶ θεόφρον Νικόλαε,˙ μονὴν τῇ Πανάγνῳ˙ πίστει ἀνεγείρατε˙ καὶ ἐφωτίσατε˙ φέγγει τῆς ὑμῶν πολιτείας˙ τοὺς ἐνασκουμένους πατέρας˙ τοὺς ζηλοῦντας κρείττονα χαρίσματα.

Ἄραντες ἐπ᾽ ὤμων τὸν ζυγὸν˙ τοῦ Χριστοῦ κοινῇ συμφωνίᾳ,˙ Πατέρες ὄντως σοφοί,˙ γνώμονες ἀσκήσεως˙ καὶ βάθρα πίστεως,˙ εἰς τὸ ὄρος ἐδράμετε τὸ τῆς Θεοτόκου˙ καὶ αὐτῆς περίβλεπτον ἀνεκαινίσατε˙ μάνδραν· ἵνα δῆμοι ἀζύγων˙ καθ᾽ ἑκάστην πέμπωσιν αἶνον˙ τῷ Χριστῷ καὶ πίστει ἁγιάζωνται.

Ξένου ἠξιώθητε ἰδεῖν˙ θαύματος τῆς Βηματαρίσσης,˙ Πατέρες τρισσολαμπεῖς·˙ ἔνδον γὰρ τοῦ Βήματος˙ ἔν τινι φρέατι˙ τὴν εἰκόνα ἀνεύρετε˙ αὐτῆς ἱσταμένην,˙ φόβῳ ἐκπληττόμενοι,˙ ἐπὶ τοῦ ὕδατος˙ ἄφθορον, ὀρθὴν καὶ πρὸ ταύτης˙ καίουσαν κανδήλαν ἀσβέστως˙ καὶ αὐτῆς τὸ πρόσωπον φωτίζουσαν.

**Δόξα. Ἦχος β᾽.**

Ἀσκητῶν τρίβους ὁμοφρόνως ζηλώσαντες, καὶ πᾶν ῥέον καὶ φθαρτὸν ἀρνησάμενοι, Χριστῷ ἠκολουθήσατε, τῆς Τριάδος ἰσάριθμοι ὅσιοι· καὶ μάνδραν τῆς Δεσποίνης ἡμῶν Θεοτόκου, τὴν ἐν Βατοπαιδίῳ,

ἐρείπιον οὖσαν, ἀνεγείραντες, ἀλεῖπται θεῖοι ἀζύγων γεγόνατε· ἀλλ᾽ ὦ προεστὼς Νικόλαε, σὺν Ἀθανασίῳ καὶ Ἀντωνίῳ, τοῖς θεοσόφοις συνασκηταῖς σου, πρέσβευε πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.**

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον Σπήλαιον, ἐν ᾧ Χριστὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

**Ἀπόστιχα.**

**Στιχηρὰ Προσόμοια.**

**Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαίρετε, θαυμαστοί,˙ Νικόλαε τρισμάκαρ,˙ σὺν τῷ Ἀθανασίῳ˙ καὶ Ἀντωνίῳ, γόνοι˙ τῆς Ἀδριανουπόλεως.

Στίχ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Βίον ἀσκητικὸν˙ ἀνύσασα ὑμνείσθω˙ ἡ τρίπλοκος χορεία˙ τῶν ἐν Βατοπαιδίῳ˙ Πατέρων ἡ ὑπέρτιμος.

Στίχ. *Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.*

Γάνυται ἡ σεπτὴ˙ Βατοπαιδίου μάνδρα˙ ὑμῶν, τριὰς Ὁσίων,˙ καμάτοις τοῖς ἀόκνοις˙ καὶ θεαρέστοις πράξεσι.

**Δόξα. Τριαδικόν.**

Λάμψασα ἡ τριὰς˙ Ὁσίων τῆς Τριάδος˙ τῆς παναγίας αἴγλῃ˙ ἐφώτισε τὸν κόσμον˙ φωτὶ στεῤῥᾶς ἀσκήσεως.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἔστη ὑπερφυῶς˙ ὀρθὴ καὶ ἄνευ βλάβης˙ τοῦ χρόνου ἐφ᾽ ὑδάτων˙ ἡ πάνσεπτος εἰκών σου,˙ Κυρία Βηματάρισσα.

**Νῦν ἀπολύεις..., Τὸ Τρισάγιον.**

**Ἀπολυτίκιον**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τοὺς θείους δομήτορας· Βατοπαιδίου Μονῆς,· Νικόλαον ᾄσμασι· σὺν Ἀντωνίῳ κλεινῷ· σοφὸν Ἀθανάσιον,· πάντες οἱ ἐν τῇ Μάνδρᾳ· τῇ αὐτῶν παροικοῦντες,· τιμήσωμεν ὁμοφρόνως,· τῷ Χριστῷ μελῳδοῦντες·· Αὐτῶν πρεσβείαις ἡμᾶς· πάντας ἐλέησον.

**Θεοτοκίον τῆς Βηματαρίσσης.**

**Ὅμοιον.**

Τυφλώττουσαν πάθεσι· τὴν σκοτεινήν μου ψυχήν,· ἁγνὴ Βηματάρισσα, τῆς ἀπαθείας φωτί· καταύγασον δέομαι,· ἵνα ὑμνολογῶ σε· τὴν τοῦ Βατοπαιδίου· πλήσασαν τὰς χορείας· χαρμονῆς ξενοτρόπῳ· εὑρέσει σου ἐν τῷ σκοτεινῷ· βάθει τοῦ φρέατος.

**Καὶ Ἀπόλυσις.**

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

**Μετὰ τὸν Προοιμιακόν, τὸ «Μακάριος ἀνήρ».**
**Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους η' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια, δευτεροῦντες τὰ δύο πρῶτα.**

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Μονοτρόπων οἱ σύλλογοι˙ καὶ τοῦ Ἄθω συστήματα˙ ἐν ἀγαλλιάσει ψυχῆς ὑμνήσωμεν˙ Βατοπαιδίου τοὺς Κτίτορας˙ καὶ θείους κοσμήτορας˙ Ἐκκλησίας τοῦ Χριστοῦ,˙ πολιούς, Ἀθανάσιον˙ καὶ Ἀντώνιον˙ σὺν σοφῷ Νικολάῳ προεστῶτι˙ τῆς μονῆς αὐτῆς, ἀπαύστως˙ ὑπὲρ ἡμῶν τοὺς πρεσβεύοντας.

Πτερωθέντες τῷ ἔρωτι˙ τοῦ Χριστοῦ Παντοκράτορος˙ ἀκλινῶς, Πατέρες, ἠκολουθήσατε˙ Αὐτῷ καὶ μάνδραν περίοπτον˙ καλῶς ἀνηγείρατε˙ τῆς Ἀνάσσης τοῦ παντός,˙ ἧς τὸ θεῖον ἐκτύπωμα˙ ἐν τῷ φρέατι˙ ἀβλαβὲς ἠξιώθητε καὶ σῶον˙ ἀνευρεῖν καὶ παραδοῦναι˙ ταῖς γενεαῖς εἰς προσκύνησιν.

Ἐν τῷ ὄρει τοῦ Ἄθωνος, ἀσκηταὶ τρισμακάριστοι,˙ θείοις κατορθώμασι διεπρέψατε˙ καὶ ὡς ἀστέρες πολύφωτοι˙ φαιδρῶς διελάμψατε,˙ Ἀθανάσιε σοφέ,˙ ἅμα σῶφρον Ἀντώνιε˙ καὶ Νικόλαε,˙ πολιτείας ὑμῶν λαμπραῖς ἀκτῖσιν˙ ἐν μονῇ Βατοπαιδίου,˙ ἣν ἀληθῶς ἡγιάσατε.

Δεῦτε, πάντες τιμήσωμεν˙ τὴν τριάδα τὴν ἔνθεον,˙ Ἀδριανουπόλεως τὰ βλαστήματα,˙ ἐνασκουμένων προπύργια,˙ τὰ κρίνα τῆς χάριτος,˙ παραστάτας ἱερούς,˙ ἀρωγοὺς καὶ ἀκέστορας˙ ὁμηγύρεως˙ μοναστῶν τῶν ἐν τῷ Βατοπαιδίῳ˙ καὶ ἡμῶν τῶν μελῳδούντων˙ αὐτοὺς ταχεῖς ἀντιλήπτορας.

Τοῖς ὑμῶν κατορθώμασι˙ καὶ σοφοῖς προτερήμασιν˙ ἡ Ἀδριανούπολις ἐπαγάλλεται,˙ ἐξ ἧς σεμνῶς ἐβλαστήσατε,˙ Πατέρες θειότατοι,˙ Ἀθανάσιε κλεινέ,˙ θεοφόρε Ἀντώνιε˙ καὶ Νικόλαε,˙ ἐξαιρέτως δὲ τέρπεται καὶ χαίρει˙ ἡ μονὴ Βατοπαιδίου˙ ὑμᾶς δομήτορας ἔχουσα.

www.tezaurliturgic.ro

Πολιτείαν ἀνύσαντες˙ ἐν τῷ Ἄθῳ ἰσάγγελον˙ καὶ τὰς χαμαιζήλους ἀποδιώξαντες˙ ὁρμὰς δοχεῖα γεγόνατε˙ τοῦ Πνεύματος τίμια˙ καὶ κειμήλια σεπτὰ˙ ἀρετῶν· ὅθεν ἅπαντες˙ ὡς πυρσεύματα˙ φρυκτωροῦντα τὰ πέρατα, Πατέρες˙ τῆς μονῆς Βατοπαιδίου,˙ ὑμᾶς προφρόνως γεραίρομεν.

**Δόξα. Ἦχος πλ. β'.**

Σήμερον ὡς τρίφωτος λυχνία ἐξέλαμψαν, οἱ θεοφόροι Πατέρες, Νικόλαος, Ἀντώνιος καὶ Ἀθανάσιος, φαιδρύνοντες τὴν τῶν μοναζόντων χορείαν, ἀσκητικαῖς ἀκτῖσιν· οὗτοι γὰρ ξενοτρόπως ἐν γῇ βιώσαντες, ἠξιώθησαν σὺν ἀγγέλοις, τρυφῆσαι τῆς ἄνω δόξης, καὶ μέτοχοι γενέσθαι, τῆς αἰωνίου μακαριότητος· ὅθεν καὶ ἡμεῖς φωτισθέντες, τοῖς ἐκείνων ἀστραπαῖς δεόμεθα, σὺν πᾶσι τοῖς ἐν τῷ Βατοπαιδίῳ οἰκοῦσι· πρέσβευε, τριὰς ἐκλεκτή, πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Ἦχος ὁ αὐτός. Προεόρτιον.**

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν· καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε· ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός· ὅν περ καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· Πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

**Εἴσοδος, «Φῶς ἱλαρόν»,**
**τὸ Προκείμενον τῆς ἡμέρας.**
**Τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 21-35)**

Υἱέ, μὴ παραῤῥυῇς· τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σὴ ψυχή, καὶ χάρις ᾖ ἐπὶ σῷ τραχήλῳ· ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου· ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ· ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις· καὶ οὐ φοβηθήσῃ πτόησιν

ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας· ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς. Μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί, Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, μή τι εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν. Ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος· ἐν δὲ δικαίοις οὐ συνεδρεύει. Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν· ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται· ταπεινοῖς δὲ δίδωσι χάριν· Δόξαν σοφοὶ κληρονομήσουσιν· οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. δ' 20-27)

Υἱέ, ἐμῇ ῥήσει πρόσεχε, τοῖς δὲ ἐμοῖς λόγοις παράβαλλε σὸν οὖς. Ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν σῇ καρδίᾳ. Ζωὴ γάρ ἐστι πᾶσι τοῖς εὑρίσκουσιν αὐτάς, καὶ πάσῃ τῇ σαρκὶ αὐτῶν ἴασις, Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς. Περίελε σεαυτοῦ σκολιὸν στόμα, καὶ ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ποίησον. Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια. Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσί, καὶ τὰς ὁδούς σου κατεύθυνε· μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά· ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς. Ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεός, διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν· αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα, (Κεφ. δ' 7-15)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Ἰδιόμελα.

### Ἦχος α'.

Ἡ κλεινὴ Ἀδριανούπολις, ὡς μήτηρ καλλίτεκνος καὶ τροφὸς ἀφωσιωμένη, τῇ ὑμῶν πολιτείᾳ σεμνυνομένη, ἀγάλλεται, θεοφόροι Πατέρες· ἡ δὲ μεγίστη καὶ σεβασμία, τοῦ Βατοπαιδίου μάνδρα, ἁγιασθεῖσα τοῖς τιμίοις ὑμῶν ἱδρῶσι, γάνυται ἔχουσα ὑμᾶς δομήτορας ἐνθέους· Ἀλλ᾽, ὦ τριὰς θεόφιλε, Ἀντώνιέ τε Νικόλαε καὶ Ἀθανάσιε, ὁσίων ἀκρότητες, μὴ παύσησθε πρεσβεύοντες Χριστῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β'.

Τὸν τοῦ Χριστοῦ Σταυρὸν ἀράμενοι, καὶ ἀποσείσαντες τὴν τοῦ κόσμου τύρβην, θείῳ πόθῳ ἐπτερώθητε, Ἀδριανουπόλεως ἐκθρέμματα πανίερα· καὶ ὡς ἔλαφοι ταχέως ἐδράμετε, οἰκῆσαι ἐν Ὄρει τῷ Ἁγίῳ, καὶ τρυφῆσαι τῆς μοναδικῆς πολιτείας, σταυρώσαντες ἑαυτοὺς τοῖς πάθεσιν· ὅθεν κτίτορες ἠξιώθητε γενέσθαι, τῆς μεγίστης μάνδρας τοῦ Βατοπαιδίου, πρακτικοὶ δειχθέντες ὑποφῆται, καὶ θέμεθλοι ἀσκητῶν ἄσειστοι· νῦν δὲ τῆς ἀλήκτου χαρᾶς μετέχοντες, πρεσβεύσατε δεόμεθα τῷ Παντάνακτι, Ἀντώνιε, Ἀθανάσιε καὶ Νικόλαε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος γ'.

Ἀνενδότῳ διανοίᾳ καὶ ἁγίῳ φρονήματι, ἐκζητοῦντες τὴν ἄῤῥητον δόξαν, τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, ἐν Ὄρει τῷ Ἁγίῳ κατεσκηνώσατε, Πατέρες τρισόλβιοι· ῥώμῃ γὰρ θείᾳ κυβερνώμενοι, ἐδομήσατε τὸ ἱερὸν σεμνεῖον τοῦ Βατοπαιδίου, ἔνθα ἠριστεύσατε τοῖς παλαίσμασι, καὶ κατεβάλατε τὸν ἀρχέκακον διάβολον· οἰκητήρια οὖν ἑαυτοὺς ἐργασάμενοι, τοῦ ἁγίου Πνεύματος, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀξιωθέντες Ὅσιοι, χάριν εὕρατε πρεσβεύειν Κυρίῳ, ὑπὲρ πάντων ἡμῶν.

### Ἦχος δ'.

Καθαγνίσαντες ἑαυτοὺς συντόνῳ ἀσκήσει, τεμένη ἱερὰ τῆς ἁγίας Τριάδος ὤφθητε, Πατέρες τρισάριθμοι· ὡς γὰρ φῶς ἔλαμψεν ἡ ὑμῶν πολιτεία, καὶ πολλοὺς μαθητὰς εἵλκυσε, Νικόλαε σὺν Ἀντωνίῳ καὶ

Ἀθανασίῳ· μεσῖται οὖν ἡμῶν πρὸς Κύριον, ἀξιόθεοι ὑπάρχοντες, μὴ ἐλλίπητε πρεσβεύειν Αὐτῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου.

**Δόξα. Ἦχος δ'.**

Τὴν θεοφόρον τριάδα, τὴν ἐν Βατοπαιδίῳ ἀγγελικῶς πολιτευσαμένην, δεῦτε πάντες οἱ φιλέορτοι, προφρόνως τιμήσωμεν· ἀδιαλείπτως γὰρ πρεσβεύουσι τῷ Σωτῆρι, ἐπομβρῆσαι ἡμῖν τοῖς αὐτοὺς μελῳδοῦσιν, ὑετὸν πλούσιον παντοειδῶν δωρημάτων.

**Καὶ νῦν. Προεόρτιον, Ὁ αὐτός.**

Ἡσαΐα χόρευε, λόγον Θεοῦ ὑπόδεξαι· προφήτευσον τὴ κόρῃ Μαριάμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ· καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον· ὃν Ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ σπηλαίου, ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

**Εἰς τὸν Στίχον.**

**Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.**

Χαίροις τῶν ἀσκητῶν ἡ τριάς,˙ τῶν οὐρανίων στρατιῶν οἱ ἐφάμιλλοι,˙ οἱ στῦλοι τῆς ἀπαθείας,˙ τῶν μοναστῶν οἱ πυρσοὶ˙ καὶ τοῦ Παρακλήτου τὰ σκηνώματα·˙ παμμάκαρ Νικόλαε,˙ θεοφόρε Ἀντώνιε˙ καὶ εὐσεβόφρον˙ Ἀθανάσιε, ἅπασι˙ διαπνέετε εὐωδίαν χρηστότητος·˙ ὅθεν τοῖς καταφεύγουσι˙ ταῖς θείαις ἐντεύξεσιν˙ ὑμῶν, φωσφόροι Πατέρες,˙ δίδετε πόνων ἐκλύτρωσιν,˙ Χριστὸν δυσωποῦντες˙ ταῖς ψυχαῖς ἡμῶν δοθῆναι˙ τὸ μέγα ἔλεος.

Στίχ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις Βατοπαιδίου σεπτή,˙ τρισολαμπὴς τῶν δομητόρων ὁμήγυρις,˙ Νικόλαε θεηγόρε˙ σὺν Ἀντωνίῳ σοφῷ˙ καὶ Ἀθανασίῳ τῷ

θεόφρονι˙ τριὰς ἀξιάγαστε˙ ἀσκητῶν καὶ ὑπέρτιμε,˙ ἡ ἀνευροῦσα˙ σὺν τῷ Σάββᾳ τῷ μάκαρι˙ τὸ ἐκτύπωμα˙ τῆς Ἀγνῆς ἐν τῷ φρέατι,˙ ὅπερ καὶ ἀνασύρασα˙ ταχέως παρέδωκας˙ τοῖς μοναστaῖς προσκυνῆσαι˙ καὶ ἀνυμνῆσαι τὴν Ἄναασαν˙ Παρθένον Μαρίαν,˙ Βηματάρισσαν, σὺν πᾶσι˙ πιστῶν τοῖς τάγμασι.

Στίχ. *Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.*

Χαίροις ἐνασκουμένων τριάς,˙ ἀδιαλείπτου προσευχῆς ἐργαστήρια,˙ πραότητος μυροθῆκαι,˙ ἀγάπης θείας κρουνοί,˙ ταπεινοφροσύνης οἰκητήρια·˙ γεννήματα εὔκαρπα˙ τῆς Ἀδριανουπόλεως˙ τὰ ἐν τῷ Ὄρει˙ τῷ Ἁγίῳ βλαστήσαντα˙ καὶ ἀνθήσαντα˙ ἀρετῶν ῥόδα ἥδιστα·˙ ὅσιε Ἀθανάσιε˙ καὶ σῶφρον Ἀντώνιε˙ σὺν Νικολάῳ τῷ θείῳ,˙ Βατοπαιδίου καυχήματα,˙ ὑμῶν ταῖς ἀόκνοις˙ καταφεύγομεν πρεσβείαις˙ ἐν βίου κλύδωσι.˙

**Δόξα. Ἦχος πλ. δ'.**

Τῶν ἀρετῶν ὑμῶν τῷ ἀδύτῳ φωτί, λαμπρυνομένη ἡ Ἐκκλησία τοῦ Χριστοῦ, κατὰ χρέος τιμᾷ καὶ ἀεὶ ὑμᾶς μακαρίζει, τρισάριθμοι ὅσιοι· θαυμαστῶς γὰρ ἐκλάμψαντες, Νικόλαε σὺν Ἀθανασίῳ καὶ Ἀντωνίῳ, ἐν Ἄθωνι ἐφωτίσατε μοναστῶν τὰς καρδίας, χρηστότητος πυρσεύμασιν. Ἀλλ᾽ ὡς ὁσίων σύσκηνοι, Βατοπαιδίου ἐρείσματα ἄσειστα, σὺν αὐτοῖς ἱκετεύετε ὑπὲρ τῶν τιμώντων, ὑμῶν τὴν πανέορτον μνήμην καὶ πάντιμον.

**Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.**

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει· Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισσόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοή, αἰνεσάτω τὸν παντουργέτην.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τό·**

**Ἀπολυτίκιον.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τοὺς θείους δομήτορας· Βατοπαιδίου Μονῆς,· Νικόλαον ᾄσμασι· σὺν Ἀντωνίῳ κλεινῷ· σοφὸν Ἀθανάσιον,· πάντες οἱ ἐν τῇ Μάνδρᾳ· τῇ αὐτῶν παροικοῦντες,· τιμήσωμεν ὁμοφρόνως,· τῷ Χριστῷ μελῳδοῦντες·· Αὐτῶν πρεσβείαις ἡμᾶς· πάντας ἐλέησον.

**Ἕτερον Ἀπολυτίκιον.**

**Ἦχος γ΄. Θείας πίστεως.**

Ὕμνοις μέλψωμεν τὴν τριανδρίαν· τὴν μυρίσασαν ὀσμαῖς χαρίτων· θεϊκῶν τοὺς ἐν τῷ Ἄθῳ μονάζοντας,· Βατοπαιδίου μονῆς τοὺς δομήτορας,· σεπτὸν Νικόλαον ἅμα ἡγούμενον,· Ἀθανάσιον θεῖον,· σοφὸν Ἀντώνιον,· Χριστὸν ὑπὲρ ἡμῶν καθικετεύοντας.

**Ἕτερον. Ἦχος γ'. Θείας πίστεως.**

Λύχνε τρίφωτε, ἠγλαϊσμένε,· Ἀθανάσιε σὺν Ἀντωνίῳ,· καὶ πανσόφῳ Νικολάῳ ηὐγάσατε· μοναδικῆς πολιτείας πυρσεύμασι· Βατοπαιδίου μονὴν τὴν ὑπέρλαμπρον·· ἱκετεύσατε,· Χριστὸν τὸν Θεὸν πανόσιοι· δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Θεοτοκίον τῆς Βηματαρίσσης.**

**Ὅμοιον.**

Ὡς ἀσύλητον κατέχει ὄλβον· τὸ περίπυστον ἐκτύπωμά σου· ἡ μονὴ Βατοπαιδίου, Πανάχραντε,· ἐνιαυτοὺς τὸ κρυβὲν ἑβδομήκοντα· καὶ παραμεῖναν ἐν φρέατι ἄφθαρτον·· ὅθεν ἅπαντες· τιμῶντές σε, Βηματάρισσα,· τῆς σκέπης σου λαμβάνομεν τὰς χάριτας.

-+-+-+-+-+-+-

## ΕΝ ΤΩι ΟΡΘΡΩι

**Μετὰ τὸν Ἑξάψαλμον τὰ Ἀπολυτίκια (βλ. ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ).**

**Μετὰ τὴν α' στιχολογίαν, Κάθισμα.**

**Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.**

Ὑμῶν τὴν φωταυγῆ· καὶ πανέορτον μνήμην· τελοῦντες ἐν χαρᾷ· Ὀρθοδόξων οἱ δῆμοι,· θεόφρον Νικόλαε,· Ἀθανάσιε πάντιμε· καὶ Ἀντώνιε,· ἀνευφημοῦμεν τοὺς πόνους,· οὓς ἠνέγκατε· ἀπεριτρέπτῳ καρδίᾳ· ἐν ὄρει τοῦ Ἄθωνος.

**Δόξα. Τὸ αὐτό.**

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

**Μετὰ τὴν β΄ στιχολογίαν, Κάθισμα.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἐν τῷ φρέατι εὕρετε τὴν ὑπέρλαμπρον˙ Βηματαρίσσης εἰκόνα˙ ὀρθήν τε καὶ ἀβλαβῆ˙ καὶ κανδήλαν ἱλαρῶς αὐτὴν φωτίζουσαν,˙ Βατοπαιδίου θαυμαστοὶ˙ ἀσκηταί, πανευλαβεῖς˙ Νικόλαε σὺν τῷ θείῳ˙ Ἀθανασίῳ ὁμοῦ τε˙ καὶ Ἀντωνίῳ, θεοφόρε τριάς.

**Δόξα. Τὸ αὐτό.**

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Χαῖρε ἅγιον ὄρος, καὶ θεοβάδιστον· χαῖρε ἔμψυχε βάτε, καὶ ἀκατάφλεκτε. Χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. Χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Μετὰ τὸν Πολυέλεον. Κάθισμα.**

**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τοὺς κατασβέσαντας˙ παθῶν τοὺς ἄνθρακας˙ δακρύων χεύμασιν˙ ἐν ὄρει Ἄθωνος,˙ Βατοπαιδίου ἀσκητὰς˙ καὶ κτίτορας θεοσδότους˙ τούτου ἐπαινέσωμεν,˙ προεστῶτα Νικόλαον,˙ ἔνθεον Ἀντώνιον˙ καὶ κλεινὸν Ἀθανάσιον,˙ γηθόμενοι βοῶντες ἀπαύστως˙ Χαῖρε, τριὰς σεπτῶν Πατέρων.

**Δόξα. Τὸ αὐτό.**

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Θεομακάριστε, Μήτηρ Ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου, ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος· ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου, δέξαι με Πανάμωμε, τὸν

πολλὰ πλημμελήσαντα, ἵνα ἐν παῤῥησίᾳ βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

**Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.
Στίχ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

**Εὐαγγέλιον, κατὰ Λουκᾶν (στ' 17-23)**
«Ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...» **(ζήτει τῇ ε' Δεκεμβρίου).**
**Ὁ Ν' Ψαλμός.**
Δόξα. Ταῖς τῶν σῶν Ὁσίων...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

**Ἰδιόμελον. Ἦχος β'.**
Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.*

Τὸν Κύριον καὶ Θεὸν ἡμῶν ἐκ ψυχῆς ἀγαπήσαντες, τρισάριθμοι Βατοπαιδίου δομήτορες, ὑπερφυεῖς διηνύσατε ἀγῶνας, ἀναζωσάμενοι γὰρ τὴν ὀσφύν, καμάτοις πλείστοις ἀνηγείρατε, τὴν καταστραφεῖσαν ὑπὸ τῶν πειρατῶν μονήν, ἣν καὶ ἡγιάσατε· ἀλλ᾽ ὦ ἐρασταὶ τῆς ἡσυχίας, καὶ διακρίσεως καταγώγια, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἶτα τό· «Σῶσον, ὁ Θεός, τὸν λαόν σου...»**

**Καὶ ὁ Κανὼν τῶν Ὁσίων, οὗ ἡ ἀκροστιχίς:**
**«ΤΟΥΣ ΚΤΙΤΟΡΑΣ ΥΜΝΩ ΜΟΝΗΣ ΒΑΤΟΠΑΙΔΙΟΥ. Χ. »**
**Ὠιδὴ α'.**
**Ἦχος α'. Χριστὸς γεννᾶται, δοξάσατε.**

Τριὰς Χριστοῦ ἀξιάγαστε,· μονῆς Βατοπαιδίου δομήτορες,· Τριάδος τῆς θείας σύσκηνοι,· νείματε φωτισμόν μοι,· ὅπως ὑμῶν μέλψω γηθοσύνως· μελῳδήμασι σεμνοῖς τὰ κατορθώματα.

Ὁσίων πάντων ζηλώσαντες· τὸν βίον ἀληθῶς τὸν ἐπέραστον· ταπείνωσιν ἠγαπήσατε,· μάνδρας Βατοπαιδίου θεῖοι φανοί,· πλέον τῶν ἁπάντων· καὶ θελήματος σαρκὸς τὴν ἀπονέκρωσιν.

Ὑψίστου ὤφθητε μάργαρα˙ πολύτιμα, Πατέρες θεόφρονες,˙ Νικόλαε καὶ Ἀντώνιε,˙ σὺν τῷ Ἀθανασίῳ, ὑποταγῇ˙ καὶ ἀκτημοσύνῃ˙ λαμπρυνθέντα καὶ λαὸν πιστὸν φαιδρύναντα.

**Θεοτοκίον.**

Σωτῆρα πάντων καὶ Κύριον,˙ ἁγνὴ Θεογεννῆτορ, κυήσασα˙ ἀσπόρως πᾶν γένος βρότειον˙ ἔσωσας ἐκ θανάτου˙ καὶ πρὸς ζωὴν ἤγαγες ἀγήρω˙ καὶ πρὸς θέωσιν ἡμᾶς˙ τοὺς εὐφημοῦντάς σε.

**Καταβασία.**

**Χριστὸς γεννᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. Ἄισατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί· ὅτι δεδόξασται.**

**Ὠιδὴ γ΄. Τῷ πρὸ τῶν αἰώνων.**

Καυχᾶται ἡ θεία˙ μοναζόντων χορεία,˙ Πατέρες κλεινοί,˙ Βατοπαιδίου ἐκτελοῦσα˙ τὴν πανέορτον μνήμην˙ ὑμῶν καὶ κραυγάζει χαίρουσα˙ Ἀκτημοσύνης κρηπῖδες, σοφοί,˙ πέλετε τρισάριθμοι.

Τριάδα ὑμνοῦμεν˙ τῶν πανσόφων Πατέρων˙ τῶν ἐν τῷ Ἄθῳ στερῤῥῶς˙ ἐνασκησάντων καὶ ἀμέμπτῳ˙ βιοτῇ φαιδρυνάντων˙ τὴν Μάνδραν τῆς Θεομήτορος˙ ἀναβοῶντες πιστῶς· Ἀσκηταί,˙ χαίρετε, θεόφρονες.

Ἰλύος δυσόσμου˙ παθημάτων ῥυσθέντες˙ τῆς ἀπαθείας ἡδεῖς,˙ Πατέρες ἔνθεοι, λειμῶνες˙ ἀνεδείχθητε πάντας˙ χαρίτων ὀσμαῖς εὐφραίνοντες,˙ Βατοπαιδίου ὁμόφρον τριάς,˙ ἄνθη εὐωδέστατα.

**Θεοτοκίον.**

Τὴν θείαν σου, Κόρη,˙ προσκυνοῦντες Εἰκόνα˙ ἐν κατανύξει ψυχῆς˙ ἀναβοῶμεν· Θεοτόκε˙ Βηματάρισσα, σπεῦσον˙ καὶ ῥῦσαι δεινῆς κολάσεως˙ τοὺς καθ᾽ ἑκάστην ὑμνοῦντας φαιδρῶς˙ σοῦ τὴν ἀγαθότητα.

**Καταβασία.**

**Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.**

**Κάθισμα.**

**Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.**

Ὁλοτρόπῳ ἐφέσει πᾶν γεηρόν,˚ ἀρνησάμενοι, ὅσιοι ἀσκηταί,˚ Θεῷ ἐκολλήθητε καὶ ἐν Ἄθῳ ᾠκήσατε˚ τῶν μοναστῶν ἀλεῖπται˚ δειχθέντες σοφώτατοι˚ καὶ τοῦ Βατοπαιδίου˚ δομήτορες ἔνθεοι·˚ ὅθεν καὶ ἀφθάρτων˚ ἀγαθῶν μετασχόντες,˚ Νικόλαε πάνσοφε,˚ Ἀθανάσιε ἄμεμπτε˚ καὶ τρισμάκαρ Ἀντώνιε,˚ πρεσβεύσατε Χριστῷ τῷ Θεῷ˚ τῶν πταισμάτων˚ ἄφεσιν δωρήσασθαι˚ τοῖς ἑορτάζουσι πόθῳ˚ ὑμῶν τὴν πανήγυριν.

**Δόξα. Τὸ αὐτό.**

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Πειρασμοῖς πολυπλόκοις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου, καὶ ὡς θερμὴν ἀντίληψιν, καὶ σκέπην μου Ἄχραντε, τῷ λιμένι προστρέχω, τῆς σῆς ἀγαθότητος· ὅθεν Παναγία, τὸν ἐκ σοῦ σαρκωθέντα, ἀπαύστως ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε, πρεσβεύουσα αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον Τόκον σου.

**ᾨδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.**

Ὅρμον καὶ προσφύγιον σεπτὸν˚ ὑμᾶς κατέχει ἡ μονὴ˚ Βατοπαιδίου ἡ τρισένδοξος˚ μετὰ τὴν τοῦ Λυτρωτοῦ˚ Παναγίαν Μητέρα,˚ ἥσπερ τὴν περίκλυστον εἰκόνα˚ ἐν φρέατι θαυμαστῶς˚ εὕρετε, Πατέρες μακάριοι.

Ῥώμη ῥωννυμένη, ὦ λαμπὰς˚ τρισάκτινε, τοῦ Λυτρωτοῦ˚ τὰ τῆς σαρκός σου καθυπέταξας˚ ὁρμήματα τῷ νοΐ˚ καὶ ἀνῦσαι ὁσίως˚ σὴν κατηξιώθης βιοτήν,˚ Νικόλαε κραταιέ,˚ σὺν Ἀθανασίῳ, Ἀντώνιε.

Λύχνος πανσεβάσμιον, τριὰς˙ Πατέρων, ὤφθης εὐκλεῶν˙ Βατοπαιδίου καὶ ὡραΐσμα˙ φωτίζεις γὰρ ἀστραπαῖς˙ ἀρετῶν πᾶσαν κτίσιν˙ ὅθεν μονασταὶ οἱ ἐν τῷ Ἄθῳ˙ τιμῶσι χρεωστικῶς˙ μνήμην σου τὴν θείαν καὶ πάντιμον.

**Θεοτοκίον.**

Σοῦ τὰ μεγαλεῖα, ἀγαθή,˙ οὐ δύναταί τις ἐξειπεῖν,˙ Θεογεννῆτορ Βηματάρισσα,˙ προστάτις πανσθενουργὲ˙ μονῆς Βατοπαιδίου˙ ὅθεν σε ἐν πόθῳ ἀνυμνοῦμεν˙ ὡς ἄσυλον θησαυρὸν˙ ἔχοντες τὴν θείαν εἰκόνα σου.

**Καταβασία.**

**Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας· ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου Κύριε.**

**Ὠιδὴ ε'. Θεὸς ὢν εἰρήνης.**

Ὑψίνουν τριάδα˙ πατέρων σεπτῶν,˙ Ἀθανάσιον θεῖον, Νικόλαον˙ σοφόν τε καὶ Ἀντώνιον,˙ θεόπνευστον αὐλόν,˙ τιμήσωμεν εὐσχήμως˙ ὡς πρυτάνεις ἀζύγων˙ καὶ μονῆς δομήτορας˙ Βατοπαιδίου τῆς εὐδαίμονος.

Μακάριε δῆμε,˙ τριὰς ἀγλαή,˙ ξενωθέντες φροντίδων βιώσεως˙ λατρεύειν ᾑρετίσασθε Θεῷ μόνῳ νοΐ˙ ἡσύχῳ κατὰ μόνας˙ ὅθεν ὤφθητε πᾶσιν˙ ἀσκηταὶ θεόφρονες,˙ Βατοπαιδίου θεῖοι πρόβολοι.

Ναὸς χαρισμάτων,˙ τριὰς ἱερά,˙ ἀρετῶν ἐχρημάτισας κάλλεσι,˙ Νικόλαε ἡγούμενε, ἁγνείας θησαυρέ,˙ σὺν τῷ Ἀθανασίῳ,˙ ἐγκρατείας ταμείῳ,˙ γεραρὲ Ἀντώνιε˙ διὸ ὑμᾶς σαφῶς γεραίρομεν.

**Θεοτοκίον.**

Ὠδάς σοι, Παρθένε,˙ καὶ ὕμνους ἡμεῖς,˙ Βηματάρισσα, πίστει προσφέρομεν˙ οἱ πόθῳ ἀσπαζόμενοι τὴν θείαν σου μορφὴν˙ ἐν τῇ σεπτῇ μονῇ σου˙ τῇ τοῦ Βατοπαιδίου,˙ ὅτι σῴζεις ἅπαντας˙ ἀεὶ ἐκ πάσης περιστάσεως.

**Καταβασία.**

**Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.**

**Ὠιδὴ στ΄. Σπλάγχνων Ἰωνᾶν.**

Μύρου εἰς ὀσμὴν˚ Κτίσαντος ἐδράμετε ὀπίσω, σοφοί,˚ ἀπαρνησάμενοι˚ πᾶν χαμαίζηλον˚ καὶ δυσῶδες τοῦ βίου ὑμῶν, ἀσκηταὶ˚ τρισμακάριστοι, καὶ πάντας κατηυφράνατε˚ μύρῳ σωτηρίου νήψεως˚ καὶ συντόνου ἐν Ἄθῳ ἀσκήσεως.

Ὅλη ἀρετῶν,˚ πάμφωτε τριάς, λελαμπρυσμένη αὐγαῖς˚ ἐκλάμπεις ἅπασι˚ τοῖς ἐν Ἄθωνι˚ μονασταῖς καὶ μιγάσι βοῶσι τρανῶς·˚ ἀδαπάνητα ἁγνείας θησαυρίσματα,˚ λίκνα εὐσεβείας ὤφθητε˚ καὶ εὐχῆς νοερᾶς κρηπιδώματα.

Νόμοις ἱεροῖς˚ θείας ἐνασκήσεως ὑμῶν τὴν μονὴν˚ κατακοσμήσαντες,˚ θεοφόρητοι,˚ ὡς σοφοὶ νομοθέται ἀζύγων ζωῆς˚ μυστικῆς ἐπαγγελίας γῆν εἰργασασθε˚ ταύτην, Προεστὼς Νικόλαε,˚ Ἀθανάσιέ τε καὶ Ἀντώνιε.

**Θεοτοκίον.**

Ἤρθημεν ἡμεῖς,˚ θεία Βηματάρισσα, Παρθένε ἁγνή,˚ πρὸς ὕψος ἄῤῥητον˚ τῇ κυήσει σου,˚ δι᾿ ἧς ἔλαβε σάρκα ὁ Λόγος Θεοῦ,˚ ὁ χιτῶνα τῆς φθορᾶς ἀπεκδυσάμενος˚ πάντων τῶν πιστῶς τιμώντων σε˚ καὶ χιτῶνα ζωῆς ἐνδυσάμενος.

**Καταβασία.**

**Σπλάχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.**

**Κοντάκιον.**

**Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.**

Ἡ τριὰς ἡ ἔνθεος, Βατοπαιδίου τὰ κλέη,˙ ὁ κλυτὸς Νικόλαος, σὺν Ἀντωνίῳ τῷ θείῳ,˙ ἅμα τε, καὶ τῷ πανσόφῳ Ἀθανασίῳ,˙ νέμουσι, φῶς σωτηρίας καθάπερ λύχνοι,˙ τῆς ἀδύτου θεαρχίας,˙ αὐγαῖς χαρίτων, καὶ ἀρετῶν ἀστραπαῖς.

## Ὁ Οἶκος.

Τὴν ὑμῶν φωσφόρον μνήμην τελοῦντες, θεοφόροι Πατέρες, ὑμνοῦμεν τοὺς τιμίους ὑμῶν καμάτους, οὓς ὑπηνέγκατε ἐν τῇ μονῇ τοῦ Βατοπαιδίου· ἀσκήσαντες γὰρ στεῤῥότατα, Θεῷ εὐηρεστήσατε, Νικόλαε προεστὼς σὺν Ἀθανασίῳ καὶ Ἀντωνίῳ, καὶ ἠξιώθητε ἀνασῦραι ἐκ τοῦ φρέατος, τὴν τῆς Βηματαρίσσης εἰκόνα· ὅθεν χρεωστικῶς ὑμᾶς τιμῶμεν, καταστέφοντες ᾄσμασι καὶ συμφώνως βοῶντες· Χαίρετε, Πατέρες τρισάριθμοι, οἱ φωτίσαντες κόσμον, αὐγαῖς χαρίτων καὶ ἀρετῶν ἀστραπαῖς.

## Συναξάριον.

Τῇ 17ῃ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, Νικολάου καθηγουμένου, Ἀθανασίου καὶ Ἀντωνίου, τῶν Κτιτόρων τῆς Ἱερᾶς καὶ Μεγίστης Μονῆς τοῦ Βατοπαιδίου.

## Στίχοι.

Λαμπτήρ, Ἀθανάσιε, Βατοπαιδίου
Ὤφθης σὺν Νικολάῳ καὶ Ἀντωνίῳ.
Νοῒ τελείῳ ἐξεκλίνατε σχέσεως γηΐνης, Κτίτορες Βατοπαιδίου.

Οἱ ὅσιοι καὶ θεοφόροι Πατέρες ἡμῶν Νικόλαος, Ἀθανάσιος καὶ Ἀντώνιος κατήγοντο ἐξ ἐπιφανῶν γονέων, ἀρχόντων τῆς Ἀδριανουπόλεως. Ποθοῦντες ὅμως τὴν μοναδικὴν ἀνῦσαι πολιτείαν, ἀπῆλθον εἰς Ἅγιον Ὄρος, φέροντες μεθ᾽ ἑαυτῶν ἱκανὸν χρηματικὸν ποσόν. Ὁ ὅσιος Ἀθανάσιος ὁ Ἀθωνίτης, ὃν ἐπεσκέφθησαν καθ᾽ ὃν χρόνον οὗτος ἔκτιζε τὴν μονὴν τῆς Μεγίστης Λαύρας, συνεβούλευσεν αὐτούς, ὅπως ἀνεγείρωσι τὴν κατεστραμμένην ὑπὸ τῶν πειρατῶν μονὴν τοῦ Βατοπαιδίου. Ὑπείκοντες οὗτοι τοῖς θεοσόφοις ῥήμασι τοῦ ὁσίου ἱδρυτοῦ τῆς μοναστικῆς πολιτείας τοῦ Ἄθω καὶ ἀναζωσάμενοι τὴν ὀσφύν, μόχθοις μυρίοις καὶ ἱδρῶσι πλείστοις, ᾠκοδόμησαν ἐκ νέου τὴν σεβασμίαν ταύτην μονὴν τῆς Ὑπεραγίας Θεοτόκου. Μετὰ παρέλευσιν ὀλίγου χρόνου, ἡγουμενεύοντος ἐκ τῶν τριῶν ἀνδρῶν τοῦ Νικολάου, ἐπέστρεψεν εἰς τὴν μονὴν ὁ ὑπὸ τῶν πειρατῶν αἰχμαλωτισθείς, κατὰ τὴν προλαβοῦσαν ἐρήμωσιν τῆς μονῆς, διάκονος Σάββας, Οὗτος, βηματάρης ὢν τῆς μονῆς, καὶ θέλων περισῶσαι τὴν θαυματουργὸν εἰκόνα τῆς Βηματαρίσσης ἐκ τῶν πειρατῶν, ἔκρυψεν αὐτήν,

ὁμοῦ μὲ τὸν τίμιον Σταυρὸν τοῦ Μεγάλου Κωνσταντίνου, ἐντὸς φρέατος τοῦ ἱεροῦ βήματος ἀνάψας καὶ λαμπάδα ἔμπροσθεν αὐτῆς. Συνέλαβον ὅμως τοῦτον οἱ βάρβαροι καὶ ἀπήγαγον αἰχμάλωτον εἰς Κρήτην, ὅπου ἔμεινεν ἄχρι τῆς ἐλευθερώσεως τῆς Κρήτης ὑπὸ Νηκηφόρου τοῦ Φωκᾶ, ὅτε καὶ ἠδυνήθη, ὑπέργηρος πλέον, νὰ ἐπιστέψῃ εἰς τὴν μονὴν τῆς μετανοίας αὐτοῦ. Οὗτος ὑπέδειξε τῷ προεστῶτι καὶ τοῖς λοιποῖς πατρᾶσι τὴν τοποθεσίαν τοῦ φρέατος, ὅπερ αὐτοὶ ἀνοίξαντες εὑρέθησαν πρὸ θαυμασίου θεάματος: Ἡ ἱερὰ εἰκὼν ἵστατο ὀρθία ἐπὶ τοῦ ὕδατος ἄνευ τινὸς φθορᾶς, ὁμοῦ καὶ ὁ Σταυρός· ἡ δὲ λαμπὰς διετηρεῖτο ἀνημμένη. Θεοφιλῶς οὖν οἱ Πατέρες οὗτοι ζήσαντες καὶ ἀλεῖπται πολλῶν μοναχῶν γενόμενοι ἐκοιμήθησαν ἐν εἰρήνῃ. Ἡ μνήμη αὐτῶν τιμᾶται τῇ 17ῃ Δεκεμβρίου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.Ἀμήν.

## Ὠιδὴ ζ΄. Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες.

Σαρκὸς ἀπονεκρώσαντες τὰ πάθη˙ τῆς ψυχῆς, τρισάριθμοι, ἀνεζωώσατε,˙ Πατέρες, δυνάμεις καὶ ἐτύχετε˙ τῆς ἀγήρω βιοτῆς,˙ ὑμνοῦντες Κύριον,˙ τὸν εἰς αἰῶνα˙ ὑπερευλογημένον.

Βολίδες παμφαέστατοι ὀφθέντες˙ ἐγκρατείας ἅπαντας καταπυρσεύσατε,˙ μονῆς τοῦ Βατοπαιδίου κτίτορες,˙ τοὺς θαυμάζοντας ὑμῶν τὴν χρηστοήθειαν˙ καὶ ἀνυμνοῦντας˙ Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀγγέλων μιμηταί, Βατοπαιδίου˙ στῦλοι θεοχάρακτοι, κατηξιώθητε˙ Ἁγνῆς τὴν εἰκόνα ἐκ τοῦ φρέατος˙ ἀνασῦραι ἀβλαβῆ˙ ἀπαύστως κράζοντες·˙ σὲ ἀνυμνοῦμεν,˙ Παρθένε, εἰς αἰῶνας.

### Θεοτοκίον.

Τὸ θαῦμα τῆς εἰκόνος σου ἰδόντες,˙ Παναγία, πανάμωμε Βηματάρισσα,˙ ἀνύμνουν σὺν Σάββᾳ σε τῷ ἔμφρονι˙ οἱ τρισάριθμοι κλεινοὶ˙ Πατέρες κράζοντες·˙ Βατοπαιδίου˙ σὺ πέλεις ὡραιότης.

### Καταβασία.

**Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.**

## Ὠιδὴ η΄. Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Ὄντως τὸ ὑμῶν ἀγάλλεται σεμνεῖον· ἀντιλήπτορας ἔχουσα θείους,· ἀσκηταί, ὑμᾶς, πνευματοφόροι,· καὶ πύργοι μοναστῶν ἀκλινεῖς·· διόπερ ὑμᾶς τιμῶντες ἀνακράζομεν·· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· καὶ ὑπερυψούτω· εἰς πάντας τοὺς αἰῶνας.

Πῦρ, τριὰς φωτοειδής, πνέουσα θεῖον· τῶν παθῶν σου κατέκαυσας ῥύπον· καὶ ἁγνίσας ὄμμα τὸ τῆς ψυχῆς σου· Θεὸν ἰδεῖν κατηξίωσαι· ἐν ταῖς ἐπουρανίαις μοναῖς·· διόπερ ὑμᾶς γεραίροντες κραυγάζομεν·· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· καὶ ὑπερυψούτω· εἰς πάντας τοὺς αἰῶνας.

Ἔγνωμεν ὑμῶν καμάτους τοὺς ἐργώδεις,· οὓς ἀγάπῃ τῇ θείᾳ τρωθέντες,· ἄσμενοι ἠνέγκατε ἄχρι τέλους· καὶ τιμωμεν τὴν ἄσκησιν· ἐν τῷ Βατοπαιδίῳ ὑμῶν·· διόπερ ὑμᾶς ὑμνοῦντες ἀνακράζομεν·· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· καὶ ὑπερυψούτω· εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον.

Δέσποινα, Βατοπαιδίου παραστάτις· καὶ τοῦ κόσμου ἀκέστωρ ταχεῖα· πέλεις, Βηματάρισσα, πάσης βλάβης· καὶ φθορᾶς διασῴζουσα· τοῦ πλάνου καὶ δολίου σατάν·· διό σε ὑμνοῦντες ἀναμέλπομεν·· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· καὶ ὑπερυψούτω· εἰς πάντας τοὺς αἰῶνας.

### Καταβασία.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

**Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν. Διὸ ἀνυμνοῦντες, ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.**



## Ὠιδὴ θ'. Μυστήριον ξένον.

Ἰδόντες, Πατέρες,˙ ὀρθὸν ἐν τῷ φρέατι˙ τῆς Ἁγνῆς τὸ ἔκτυπον, πόθῳ˙ σὺν τῷ θεόφρονι Σάββᾳ˙ ἐμέλπετε ὕμνον˙ τῇ θείᾳ μερόπων ἀντιλήπτορι,˙ Μητρὶ τοῦ Θεοῦ˙ καὶ μάνδρας ταύτης τῇ προστάτιδι.

Ὁλόφωτοι φάροι˙ ἁγνείας καὶ νήψεως,˙ παμφαὲς Νικόλαε, μάκαρ,˙ καὶ Ἀθανάσιε σῶφρον˙ σὺν τῷ Ἀντωνίῳ,˙ φωτίζετε κτίσεως τὰ πέρατα˙ λαμπραῖς ἀστραπαῖς˙ ἀσκητικῆς ὑμῶν βιώσεως.

Ὑμᾶς εὐφημοῦμεν˙ τοὺς ἅπαν τὸ βρότειον˙ ἄχθος ἀποῤῥίψαντας πίστει˙ καὶ σωτηρίων ναμάτων˙ τρυφήσαντας πόνοις˙ ἀσκήσεως, πάνσεπτοι δομήτορες˙ μονῆς τῆς κλεινῆς˙ Βατοπαιδίου, τρισευδαίμονες.

### Θεοτοκίον.

Χαρᾶς ἅπαν γένος˙ μερόπων ἐνέπλησας˙ τῷ ἁγίῳ τόκῳ σου, Μῆτερ,˙ εὐλογημένη Παρθένε,˙ ὃν τάξεις ἀγγέλων˙ ὁμοῦ σὺν ποιμέσι μεγαλύνουσι˙ γαστέρα τὴν σὴν˙ τὴν παναγίαν μακαρίζουσαι.

### Καταβασία.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

**Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον· θρόνον, χερουβικὸν τὴν Παρθένον· τὴν φάτνην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.**

### Μεγαλυνάρια.

Ἀξίως εὐφημοῦμεν˙ τὴν σεπτὴν τριάδα˙ τὴν τοῦ Βατοπαιδίου˙ ἐγείρασαν την μάνδραν.

Ἀντώνιον ὑμνοῦμεν˙ σὺν Ἀθανασίῳ˙ καὶ θείῳ Νικολάῳ˙ τοὺς γνώμονας ἀζύγων.

Τοὺς τῆς Βηματαρίσσης˙ ἔκτυπον ἰδόντας˙ ἐν φρέατι ἐνύδρῳ˙ τιμήσωμεν προφρόνως.

Ἀγάλλεται καὶ χαίρει˙ ἡ τοῦ Βατοπαιδίου˙ μονὴ ὑμᾶς προστάτας˙ κατέχουσα, Πατέρες.

**Ἐξαποστειλάριον.**

**Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.**

Ἐνθέως εὐφραινόμεθα˙ υἱοὶ ὡς φιλοπάτορες,˙ ἐπαγαλλόμενοι ὄντως˙ ἐν τῇ ὑμῶν θείᾳ μνήμῃ,˙ Πατέρες πνευματέμφοροι,˙ Βατοπαιδίου κτίτορες,˙ δοξολογοῦντες Κύριον,˙ ὃν ἠγαπήσατε πόθῳ˙ ὅλῃ ψυχῆς τῇ ἐφέσει.

**Θεοτοκίον. Ὅμοιον.**

Κυρίως Θεοτόκον σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διὰ σοῦ σεσωσμένοι· καὶ γὰρ Θεὸν ἐκύησας, ἀποῤῥήτως τὸν λύσαντα, διὰ Σταυροῦ τὸν θάνατον, πρὸς ἑαυτὸν δ᾽ ἑλκύσαντα, Ὁσίων δήμους· μεθ᾽ ὧν σε, ἀνευφημοῦμεν Παρθένε.

**Εἰς τοὺς Αἴνους.**

**Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. δ'. Τί ὑμᾶς καλέσωμεν, ἅγιοι.**

Τί ὑμᾶς καλέσωμεν, ὅσιοι,˙ ἐγκρατείας ἀληθοῦς˙ φωτοειδεῖς ὑφηγητάς,˙ θησαυροὺς δικαιοσύνης,˙ Ἀσωμάτων μιμητάς,˙ πυξία˙ σωφροσύνης καὶ σεμνότητος,˙ ἀγγεῖα˙ θείας χάριτος ἀνάπλεα,˙ Νικόλαέ τε Ἀντώνιε˙ θεόφρον καὶ Ἀθανάσιε·˙ πρεσβεύσατε˙ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς προσείπωμεν, ὅσιοι,˚ ἐναρέτου ἀγωγῆς˚ μηλέας τὰς πνευματικάς,˚ προσευχῆς ἀδιαλείπτου˚ μεμηνότας ἐραστάς,˚ ἰάσμους˚ ἡδυτέρπνους Ὄρους Ἄθωνος,˚ ἀστέρας˚ ἀειφώτους ἐγρηγόρσεως·˚ χορὲ ἀζύγων τρισάριθμε,˚ Βατοπαιδίου δομήτορες,˚ πρεσβεύσατε˚ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς καλέσωμεν, ὅσιοι,˚ ὁδηγοὺς τῶν μοναατῶν,˚ τῆς θείας χάριτος κρουνοὺς˚ ἀειῤῥύτως τοὺς κιρνῶντας˚ πόμα ἐν Χριστῷ ζωῆς,˚ ἀγώνων˚ θεαρέστων ὑποτύπωσιν,˚ καμάτων˚ νυχθημέρων τὴν προτύπωσιν,˚ Βατοπαιδίου ἐρείσματα,˚ καὶ ὡραΐσματα Ἄθωνος·˚ πρεσβεύσατε˚ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς καλέσωμεν, ὅσιοι,˚ ὑποθήκας βιοτῆς˚ θεοφιλοῦς καὶ ζηλωτὰς˚ τῶν κρειττόνων καὶ ἀφθάρτων˚ ἀγαθῶν ὡς ἀληθῶς˚ διόπερ˚ ἀνευρεῖν κατηξιώθητε˚ τὴν θείαν Βηματάρισσαν ἐν φρέατι·˚ τριὰς Πατέρων τρισένδοξε,˚ ναοὶ χαρίτων περίβλεπτοι,˚ πρεσβεύσατε˚ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. δ'.**

Ἡ τρισάκτινος λαμπὰς τῶν ὁσίων Πατέρων, ἡ μοναδικῆς πολιτείας πυρσεύμασιν, αὐγάσασα Βατοπαιδίου τὴν μάνδραν, ἀεὶ ἀσκητῶν τὰς χορείας φωτίζει· καθυποτάξασα γὰρ τῷ κρείττονι τὸ χεῖρον, καὶ κοσμήσασα ἑαυτὴν ἀμέμπτοις τρόποις, καὶ πάσῃ φρονήσει, ὤφθη καθαρώτατον δοχεῖον τοῦ ἁγίου Πνεύματος· αὐτῇ οὖν ἀνυμνοῦντες ἐκτενῶς βοήσωμεν· ἀσκουμένων ὑποφῆται, καὶ γνώμονες μονήρους βιοτῆς, Νικόλαε σὺν Ἀθανασίῳ καὶ Ἀντωνίῳ, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.**

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ φάτνη· τὸ σπήλαιον δεχέσθω· ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε, καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ᾽ ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. Διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ, κράζοντες· Ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

**Δοξολογία μεγάλη, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΗι ΛΕΙΤΟΥΡΓΙΑι

**Τὰ τυπικά, καὶ οἱ Μακαρισμοὶ**
**ἐκ τοῦ Κανόνος τῶν Ὁσίων ἡ γ' καὶ ἡ στ' Ὠιδή.**

**Ἀπολυτίκιον.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τοὺς θείους δομήτορας˙ Βατοπαιδίου Μονῆς,˙ Νικόλαον ᾄσμασι˙ σὺν Ἀντωνίῳ κλεινῷ˙ σοφὸν Ἀθανάσιον,˙ πάντες οἱ ἐν τῇ Μάνδρᾳ˙ τῇ αὐτῶν παροικοῦντες,˙ τιμήσωμεν ὁμοφρόνως,˙ τῷ Χριστῷ μελῳδοῦντες˙ Αὐτῶν πρεσβείαις ἡμᾶς˙ πάντας ἐλέησον.

**Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.**

Ὕμνοις μέλψωμεν τὴν τριανδρίαν˙ τὴν μυρίσασαν ὀσμαῖς χαρίτων˙ θεϊκῶν τοὺς ἐν τῷ Ἄθῳ μονάζοντας,˙ Βατοπαιδίου μονῆς τοὺς δομήτορας,˙ σεπτὸν Νικόλαον ἅμα ἡγούμενον,˙ Ἀθανάσιον θεῖον,˙ σοφὸν Ἀντώνιον,˙ Χριστὸν ὑπὲρ ἡμῶν καθικετεύοντας.

**Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.**

Ἡ τριὰς ἡ ἔνθεος, Βατοπαιδίου τὰ κλέη,˙ ὁ κλυτὸς Νικόλαος, σὺν Ἀντωνίῳ τῷ θείῳ,˙ ἅμα τε, καὶ τῷ πανσόφῳ Ἀθανασίῳ,˙ νέμουσι, φῶς σωτηρίας καθάπερ λύχνοι,˙ τῆς ἀδύτου θεαρχίας,˙ αὐγαῖς χαρίτων, καὶ ἀρετῶν ἀστραπαῖς.

**Καὶ τέλος τὸ Προεόρτιον Κοντάκιον τῶν Χριστουγέννων.**
**Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.**

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως. Χόρευε, ἡ οἰκουμένη ἀκουτισθεῖσα· δόξασον, μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

**Ἀπόστολος, πρὸς Ἑβραίους (ιγ' 17 – 21)**
«Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν...» **(ζήτει τῇ στ' Δεκεμβρίου).**

**Εὐαγγέλιον, κατὰ Ματθαῖον (ια' 27-30)**

«Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου ...» **(ζήτει τῇ ε' Δεκεμβρίου).**

**Κοινωνικόν·** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

Δεῦτε, ἀνυμνήσωμεν ἐν χορῷ· τῆς Βατοπαιδίου· μάνδρας Κτίτορας τοὺς σεπτούς,· σὺν Ἀθανασίῳ· καὶ Ἀντωνίῳ, πάντες,· Νικόλαον τὸν θεῖον,· γνώμονας νήψεως.

**Δίστιχον.**

Τριὰς κτιτόρων Βατοπαιδίου, δέξαι,
Ὃν Χαραλάμπης σοι ἐξύφανεν ὕμνον.

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι  Δ Ο Ξ Α**

**Τ Ωι  Μ Ο Ν Ωι  Α Λ Η Θ Ι Ν Ωι**

**Θ Ε Ωι  Η Μ Ω Ν**

www.tezaurliturgic.ro